δὲ ναῦς καὶ χρήματα καὶ δύναμιν ἀποβαλόντες,
31 αἰσχρῶς διεκομίσθησαν οἱ σωθέντες αὐτῶν. ὕστε-
ρον δὲ ὑπ' Ἀργείων ἐπείσθημεν, οἵπερ νῦν ἥκουσι
πείθοντες πολεμεῖν, πλεύσαντες ἐπὶ τὴν Λακωνικὴν
εἰρήνης ἡμῖν οὔσης πρὸς Λακεδαιμονίους ἐκτεῖναι
τὸν θυμόν, ἀρχὴν πολλῶν κακῶν· ἐξ οὗ πολεμή-
σαντες ἠναγκάσθημεν τὰ τείχη κατασκάπτειν καὶ
τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας κατα-
δέχεσθαι. ταῦτα δὲ πασχόντων ἡμῶν οἱ πείσαντες
ἡμᾶς πολεμεῖν Ἀργεῖοι τίνα ὠφέλειαν παρέσχον
ἡμῖν; τίνα δὲ κίνδυνον ὑπὲρ [τῶν] Ἀθηναίων
32 ἐποιήσαντο; νῦν οὖν τοῦτο ὑπόλοιπόν ἐστιν ἡμῖν,
πόλεμον μὲν ἑλέσθαι καὶ νῦν ἀντ' εἰρήνης, τὴν δὲ
συμμαχίαν τὴν Ἀργείων ἀντὶ τῆς Βοιωτῶν, Κορινθίων
δὲ τοὺς νῦν ἔχοντας τὴν πόλιν ἀντὶ Λακεδαιμονίων.
μὴ δῆτα, ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι, μηδεὶς ἡμᾶς ταῦτα
πείσῃ· τὰ γὰρ παραδείγματα τὰ γεγενημένα τῶν
ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων
ὥστε μηκέτι ἁμαρτάνειν.

33 Εἰσὶ δέ τινες ὑμῶν οἳ τοσαύτην ὑπερβολὴν τῆς
ἐπιθυμίας ἔχουσιν εἰρήνην ὡς τάχιστα γενέσθαι·
φασὶ γὰρ καὶ τὰς τετταράκονθ' ἡμέρας ἐν αἷς ὑμῖν
ἔξεστι βουλεύεσθαι περίεργον εἶναι, καὶ τοῦτο ἀδι-
κεῖν ἡμᾶς· αὐτοκράτορας γὰρ πεμφθῆναι εἰς Λακε-
δαίμονα διὰ ταῦθ', ἵνα μὴ πάλιν ἐπαναφέρωμεν.

31. οἵπερ ⟨καὶ⟩ νῦν Emp. — ἥκοντες πείθουσι Q. — οὔσης ἡμῖν Q. — ἐκτεῖναι] ἐκείνων κινεῖν ci. R., κινεῖν αὐτῶν Sl., ἐκκαλεῖν αὐτῶν Bl. ed. I, ἐκφῆναι s. ἐκθεῖναι Emp., ἐντεῖναι ⟨αὐτῶν⟩ L. cf. Plut. mor. 61ᵉ. — πείσ. ἡμᾶς] π . . . . . . A pr. πείσαντες ὑμᾶς corr. A, ὑμᾶς om. pr. A (non recte negat L.), „nescio an recte". Bl. — τῶν ante Ἀθ. del. Pertz.

32. ἡμῖν et μὲν om. Q. — τὴν ante Ἀργ. add. Q L. — πείσει A.

33. ημῶν Q. — τεσσαράκονθ' A. — ὑμῖν Bk. Dobr.: ἡμῖν. — βουλεύσασθαι Q Bl. cl. § 40 et argum. or. — διὰ ταῦθ' cum R. Turr.: διὰ ταύτην (διὰ τοῦθ' L.). —